UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Ex priori epistola Petri.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

Iacob. c. 4. v. 7. *Subditi igitur estote Deo, resistite autem diabolo, & fugiet a vobis.* Ecce in his aperte dicit oportere nos Deo subiici. Dicit autem
Matth. c. 11. v. 29. Christus: *Tollite iugum meum super vos.* Cum ii qui Christi iugum in se tollunt, non alteri cuipiam subiiciantur, quam Deo; quomodo Christus non est Deus?

## *Ex priori epistola Petri.*

1. Petr. c. 1. v. 1. PETRVS *apostolus Iesu Christi, electis aduenis dispersionis Ponti, Galatiæ, Cappadociæ, Asiæ, Bithyniæ, secundum præscientiam Dei Patris in sanctificationem Spiritus, in obedientiam & aspersionem sanguinis Iesu Christi: gratia vobis & pax multiplicetur.* Ecce secundum Dei Patris præscientiam, Iesu Christi apostolum se nominat; suique apostolatus rationem edisserens, ipsum in Spiritus sanctificationem, in obedientiam, in sanguinis Iesu Christi aspersionem peractum esse prædicat. Cum igitur qui in ipsum credunt, sanctificationis Spiritum consequantur; (aspergit enim suo nos sanguine ad emundationem) qua tandem ratione is Deus haberi non debet, qui proprio Spiritu sanctificat, suoque sanguine credentes in ipsum emundat? erat enim Deus in carne.

1. Petr. c. 1. v. 3. *Benedictus Deus & pater Domini nostri Iesu Christi, qui secundum misericordiam suam magnam regenerauit nos in spem viuam per resurrectionem Iesu Christi ex mortuis, in hereditatem incorruptibilem, & incontaminatam, & immarcescibilem, conseruatam in cælis.* Si Deus nos genuit in spem viuam & stabilem, effecitque hoc ipsum

Ὑποτάγητε οὖν * τῷ θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. ἰδοὺ σαφῶς ἐν τούτοις, ὑποτάττεσθαι δεῖν ἡμᾶς ἔφη τῷ θεῷ. φησὶ δὲ Χριστός· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. ὅτε τοίνυν οἱ τὸν ζυγὸν αἴροντες τὸν αὐτοῦ, οὐχ ἑτέρῳ τινὶ παρὰ τὸν θεὸν ὑποτάττονται, πῶς οὐκ ἂν εἴη θεός; — Anno Christi 431. * τῷ κυρίῳ

## Ἐκ τῆς Πέτρου ἐπιστολῆς προτέρας.

ΠΕΤΡΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, κλητοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας, κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.] ἰδοὺ κατὰ πρόγνωσιν θεοῦ καὶ πατρὸς ἀπόστολον ἑαυτὸν ὀνόμασε τοῦ Χριστοῦ· καὶ τῆς ἀποστολῆς τὸν τρόπον ἡμῖν ἐξηγούμενος, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ πεπρᾶχθαί φησιν αὐτήν. ὅτε τοίνυν οἱ πιστεύοντες εἰς αὐτόν, ἁγιαζόμεθα παρὰ τοῦ πνεύματος, ῥαντίζει δὲ ἡμᾶς καὶ τῷ αἵματι αὐτοῦ πρὸς ἀποκάθαρσιν· πῶς οὐκ ἂν νοοῖτο θεός, ὁ ἁγιάζων μὲν ἰδίῳ πνεύματι, καθαρίζων δὲ καὶ τῷ αἵματι τοὺς πιστεύοντας; θεὸς γὰρ ἦν ἐν σαρκί.

Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα * ζωῆς δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς.] εἰ θεὸς ἡμᾶς ἐγέννησεν εἰς ἐλπίδα ζῶσαν καὶ μένουσαν, πεποίηκε — * ζῶσαν

δὲ

Anno Christi 431.

δὲ τοῦτο διὰ τῆς ἰδίας ἐκ νεκρῶν ἀναστάσεως ὁ Χριστὸς, πῶς οὐκ ἂν εἴη θεός;

Περὶ ἧς σωτηρίας ἐξεζήτησαν, φησὶ, καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ.] ἰδοὺ δὴ πάλιν ἐν τούτοις Χριστοῦ τὸ ἅγιον εἴρηται πνεῦμα, καίτοι * θεοῦ ὄν. θεὸς οὖν ἄρα Χριστὸς, ὡς ἴδιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον.

* θεῖον

Iesus Christus per suam ex mortuis resurrectionem; qui fieri queat, vt Deus non sit?

*De qua* (inquit) *salute exquisiuerunt & scrutati sunt prophetæ, qui de futura in nobis gratia prophetauerunt; scrutantes in quod vel quale tempus significaret in eis spiritus Christi.* En hic rursum Spiritus sanctus qui Dei est, dicitur Christi esse. Deus igitur est, vt qui proprium habeat Spiritum sanctum. 1. Petr. c. 1. v. 10.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς β΄.

ΕΓΕΝΟΝΤΟ δὲ καὶ ψευδοπροφῆται, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι. ἠγοράσμεθα γὰρ τιμῆς, οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ.] ἐσμὲν οὖν ἄρα τοῦ πριαμένου, καίτοι θεῷ δουλεύοντες ζῶντι καὶ ἀληθινῷ. εἶτα πῶς οὐ θεὸς ὁ Χριστὸς, ὃν καὶ δεσπότην ἐπεγραψάμεθα, ζῶντά τε οἴδαμεν καὶ ἀληθινόν;

*Ex posteriori epistola Petri.*

FVERVNT *autem & pseudoprophetæ in populo, sicut & in vobis erunt magistri mendaces, qui introducent sectas perditionis, & eum qui emit eos, Dominum negant.* 2. Petr. c. 2. v. 1. *Haud enim aliquo corruptibili precio, auro vel argento redempti sumus, sed precioso Christi sanguine.* 1. Petr. c. 1. v. 19. Quare sumus eius qui redemit nos, & quidem Deo viuo & vero seruientes. Cum Christo igitur Domini titulum assignemus, ipsumque viuum & verum Dominum esse non ignoremus, cur Deum esse inficias ibimus?

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης.

ΚΑΙ οἴδαμεν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν μόνον καὶ ἀληθινὸν θεόν. καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος.] Ἰησοῦς Χριστὸς, οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς, ὁ ἐκ τοῦ θεοῦ πατρὸς νοεῖται λόγος· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ὠνόμασται Χριστὸς Ἰησοῦς. ὅτε τοίνυν αὐτός ἐστιν ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος, τίς τῶν ἕτερα φρονούντων ἀνέξεται;

*Ex epistola prima Ioannis.*

ET *scimus, quoniam Filius Dei venit, & dedit nobis sensum, vt cognoscamus verum Deum, & simus in vero Filio eius. Hic est verus Deus, & vita æterna.* 1. Ioan. c. 5. v. 20. Dei Patris Verbum, prout secundum se nude, & extra carnem consideratur, non appellatur Iesus Christus: Christi autem Iesu nomen tunc demum sortitum est, cum homo factum est. Cum ipse igitur verus sit Deus, & vita æterna, quis secus sentientes ferre queat?